# TEZAUR LITURGIC

## 25 IUNIE

## HARALAMBOS BOUSIA

# PARACLISUL SF.CUVIOS DOMETIE DE LA DIONISIU-ATHOS

ATENA,2015


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 25 ΙΟΥΝΙΟΣ

# ΔΟΜΕΤΙΟΣ ΟΣΙΟΣ ΔΙΟΝΥΣΙΑΤΗΣ ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Δρ.Χαραλάμπους Μπούσια**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησου καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανευ ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β’. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ἐν ἀσκητικῶς ἐν ὄρει Ἄθωνος λάμψας, ὡς τηλαυγέστατος φωστὴρ τῷ Κυρίῳ, Ὁσίων εὐηρέστησας κρηπὶς καὶ χορούς, μονοτρόπων ηὔγασας ἀρετῶν σου ἀκτῖσιν· ὅθεν σου δεόμεθα μὴ ἐλλίπῃς πρεσβεύων, ὑπὲρ τῶν σοὶ σπευδόντων εὐλαβῶς, καὶ τὴν σὴν χάριν ζητούντων Δομέτιε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Δόμους δεῖξόν μοι Δομέτιε, ἀφθαρσίας. Χ*

*ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Δομέτιε κλέϊσμα μοναστῶν, ἀσκήσεως στῦλε, προοράσεως ἀηδών, καὶ σέμνωμα Ὄρους τοῦ Ἁγίου, Χριστὸν δυσώπει ὑπὲρ τῶν τιμώντων σε.

Ὁδήγει Δομέτιε ἱερέ, πρὸς δόμους τῆς ἄνω, πολιτείας τοὺς εὐλαβῶς, καμάτους σου μέλποντας τοὺς θείους, Μονῆς Προδρόμου τοῦ Ἄθω θησαύρισμα.

Μὴ παύσῃ δεόμενος τοῦ Χριστοῦ, ὑπὲρ σωτηρίας, μονοτρόπων τῶν τὴν στενήν, ὁδὸν ἀνυόντων ἥνπερ χαίρων, καὶ σὺν ἐν Ἄθῳ Δομέτιε ἤνυσας.

*Θεοτοκίον.*

Ὁσίων ἁπάντων ἡ χαρμονή, Παρθένε Μαρία, ἀπὸ πάσης ἐπιβουλῆς, τοῦ δράκοντος ῥῦσαι Σοὺς οἰκέτας, ὡς ἂν ἀεί Σε λαμπρῶς μεγαλύνωμεν.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ὑπὲρ πάντων δυσώπει, τῶν ἀσκητῶν Κύριον, τῶν ἐν τῇ Μονῇ τοῦ Προδρόμου, πόθον μιμήσασθαι, ἐχόντων πόνους τοὺς σούς, οὓς ἔτλης ἵνα κερδήσῃς, Ἰησοῦν Δομέτιε, τὸν ποθεινότατον.

Συμπαθέστατε Πάτερ, σαῖς ῥυπτικαῖς κάθαρον, ἱκεσίαις ῥύπον ψυχῆς μου, τοῦ ἀνακράζοντος· χαῖρε

προΐστορ Μονῆς, Διονυσίου ἐν Ἄθῳ, εὐλαβὲς Δομέτιε, σκεῦος τῆς χάριτος.

Δαψιλῶς οὐρανόθεν, τὰς δωρεὰς εἴληφας, τοῦ θαυματουργεῖν καὶ γιγνώσκειν, πάντα τὰ μέλλοντα, Διονυσίου σεπτέ, καὶ ἐπιστήθιε φίλε· ὅθεν σοι προσφεύγομεν, μάκαρ Δομέτιε.

*Θεοτοκίον.*

Εὐϊλάτῳ Κυρίῳ, ὑπὲρ ἡμῶν πρέσβευε, πάναγνε Παρθένε Μαρία, τῶν εὐφημούντων Σε· ὑπάρχεις γὰρ τῶν πιστῶν, θερμὴ μεσῖτις καὶ γένους, τῶν βροτῶν διάσωσμα, Θεογεννήτρια.

Διάσωσον, Μονῆς Προδρόμου ἀγλάϊσμα καὶ προΐστορ, πνευματέμφορε ἀσκητὰ παμμάκαρ Δομέτιε, ἐκ πάσης κακώσεως σοὺς ἱκέτας.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Ἐπόπτα Μονῆς Προδρόμου τῆς ἐν Ἄθωνι, Χριστὸν ἐκτενῶς ἱκέτευε Δομέτιε, ἡμᾶς λύπης ῥύεσθαι, συμφορῶν ἀλγεινῶν καὶ κακώσεων, τοὺς ἐκζητοῦντας σοῦ τὴν ἀρωγήν, καὶ ἄγρυπνον ὄντως προστασίαν σου.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἴθυνόν με πρὸς κρείττονα, βίον ἀποκρούων ἐχθροῦ τοξεύματα, τὰ κινούμενα Δομέτιε, κατ᾽ ἐμοῦ καὶ σῶσόν με πρεσβείαις σου.

Ξενωθεὶς πάσης σχέσεως, Ὅσιε προσύλου οἰκεῖος πέφανσαι, τῷ Κυρίῳ Ὃν ἱκέτευε, καὶ ἡμᾶς ξενῶσαι φαύλων πράξεων.

Ὄμβοις Πάτερ Δομέτιε, μυστικοῖς εὐχῶν σου πρὸς τὸν Φιλάνθρωπον, ἐναπόσβεσον τὸν καύσωνα, τῶν παθῶν συντήκοντα σοὺς πρόσφυγας.

*Θεοτοκίον.*

Νοσημάτων ἀπάλλαξον, ἀλγηδόνων ἄχθους Κυρία Δέσποινα, καὶ κακώσεων τοὺς σπεύδοντας, τῇ ἀκαταισχύνῳ παῤῥησίᾳ Σου

*Ὠδὴ ε΄. Φώτισου ἡμᾶς.*

Μάνδρας τῆς σεπτῆς, τοῦ Προδρόμου θεῖε πρόβολε, διαφύλαττε αὐτὴν ἐπιβουλῆς, τοῦ Βελίαρ σαῖς ἐντεύξεσι Δομέτιε.

Ὄρους χελιδών, τοῦ Ἁγίου καταλάμπουσα, ἀρεταῖς τὸν κόσμον σκέδασον ἀχλύν, τῶν πταισμάτων μου Δομέτιε τρισόλβιε.

Ἴσχυσας ἐχθρόν, ἀγρυπνίαις ταῖς παννύχοις σου, καὶ εὐχῇ κατατροπῶσαι· ὅθεν νῦν, καὶ ἡμᾶς ἰσχύος ἔμπλησον Δομέτιε.

*Θεοτοκίον.*

Δώρησαι ἡμῖν, σωφροσύνην καὶ ταπείνωσιν, ἵνα ἴδωμεν τὸ κάλλος ἐν Ἐδέμ, τοῦ Υἱοῦ Σου καὶ Θεοῦ ἡμῶν πανάχραντε.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Οὐράνιον, ἔχων τὸ πολίτευμα, καὶ ἡγούμενος σποδὸν τὰ γεώδη, πνευματοφόρε Δομέτιε ὤφθης, τῶν μονοτρόπων ἀλείπτης πρὸς θέωσιν, πρὸς ἣν ὁδήγησον καλῶς, καὶ ἡμᾶς τοὺς ζητοῦντας σὴν εὔνοιαν.

Μανίας με, τοῦ βεβήλου λύτρωσαι, ὁ νηστείᾳ καὶ ἀσκήσει συντόνῳ, κατασυντρίψας Δομέτιε πλάνου, ὀφρὺν καὶ σκεῦος ὀφθεὶς θείου Πνεύματος, ὡς ἂν ὑμνῶ σου ἐσαεί, τὰ σεπτὰ ἐν τῷ Ἄθῳ παλαίσματα.

Ἐξέλαμψας, ὡς ἀστὴρ ἀείφωτος, ἀπαθείας καὶ παρώτρυνας τάχος, τὸν Διονύσιον μάνδραν ἐγεῖραι, ἐπὶ τῆς πέτρας ἐφ᾽ ἧς εἶδες πάμφωτον, λαμπάδα φάος ἀσκητῶν, καὶ πιστῶν παραστάτα Δομέτιε.

*Θεοτοκίον.*

Ταὸ στάδιον, τοῦ βροτείου βίου μου, καταξίωσον ἀνῦσαι ἀμέμπτως, θεοχαρίτωτε Μῆτερ Κυρίου, καὶ τῆς

ἀγήρῳ ζωῆς στέφους δράξασθαι, παρὰ Χριστοῦ τοῦ Σοῦ Υἱοῦ, καὶ Θεοῦ παναμώμητε Δέσποινα.

Διάσωσον, Μονῆς Προδρόμου ἀγλάϊσμα καὶ προΐστορ, πνευματέμφορε ἀσκητὰ παμμάκαρ Δομέτιε, ἐκ πάσης κακώσεως σοὺς ἱκέτας.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Πνευματοφόρε Δομέτιε Ὅσιε, τῶν μονοτρόπων ἀλεῖπτα θειότατε, καὶ Μάνδρας Προδρόμου ἡγούμενε, θεοειδὲς καθικέτευε Κύριον, ὑπὲρ τῶν πιστῶς προστρεχόντων σοι

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.*

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς Αὐτοῦ θελήσει σφόδρα.*

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν' ψαλμός.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου…*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου…*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Ἄνθος εὐωδέστατον, ἀνθῆσαν ἐν τῷ λειμῶνι, τῆς Θεογεννήτορος, καὶ ἡδῦναν ἅπαντας, τοὺς μονάζοντας, ἐν αὐτῷ πέφανσαι, μάνδρας τοῦ Προδρόμου, θεοδόξαστε ἡγούμενε· διὸ νῦν σπεύδομεν, τὰς ὀδμὰς μυρίσαι τῶν πόνων σου, καὶ πίστει σὴν ἀντίληψιν, τὴν θερμὴν αἰτήσασθαι κράζοντες· φύλαττε ἀτρώτους, Δομέτιε ἡμᾶς ἐκ πειρασμῶν, ἵνα δοξάζωμεν πάντοτε, τὴν ἁγίαν μνήμην σου.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἱερώτατε Πάτερ, ὁδηγὸς τῶν ἀζύγων, ὡς ἀπλανέστατος, Δομέτιε καὶ μάνδρας, Προδρόμου κυβερνήτης, στιβαρὸς χάριν εὕρηκας, παρὰ Χριστοῦ ἐσαεί, ὑπὲρ ἡμῶν πρεσβεύει.

Ἐν θερμῇ διανοίᾳ, προσκυνοῦντες εἰκόνα, τὴν σὴν Δομέτιε, βοῶμέν σοι· μὴ παύσῃ, ὑψόθεν περισκέπει, τοὺς τιμῶντάς σε Ὅσιε, καὶ συντηρεῖν ἀσινῶς, ἐκ τῶν βελῶν τοῦ πλάνου.

Αἴτει λύσιν πταισμάτων, τῶν πρὸς σὲ ἀφορώντων, καὶ σάλον κόπασον, κακώσεων παντοίων, θερμὸς ὡς ἀντιλῆπτωρ, τῶν μερόπων Δομέτιε, Διονυσίου Μονῆς, ἀγλάϊσμα καὶ κλέος.

*Θεοτοκίον.*

Φωτισμοῦ ἀνεσπέρου, καὶ χαρᾶς ἀϊδίου, πηγὴ Μητρόθεε, ἡμῶν τῆς λύπης ζόφον, ἀφάνισον βολαῖς Σου, μητρικαῖς πρὸς Ὃν ἔτεκες, Θεὸν ἡμῶν καὶ παντός, τοῦ κόσμου Φωτοδότην.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Θαῤῥῶν νῦν σπεύδω, τῇ πατρικῇ ἀρωγῇ σου, καθηγούμενε ἄγρυπνε μάνδρας, τοῦ Διονυσίου, Δομέτιε παμμάκαρ.

Ἅπας προστρέχων, τῇ σῇ θερμῇ προστασίᾳ, ἀνυμνεῖ σου Δομέτιε χάριν, ἣν παρὰ Κυρίου, πλουτεῖς ἀφθόνως Πάτερ.

Ῥοὰς δακρύων, ἡμῶν μὴ ἀποποιήσῃς, ὁ ψυχὴν ταῖς ῥοαῖς ἀποπλύνας, τῶν δακρύων μάκαρ, Δομέτιε ἐν Ἄθῳ.

*Θεοτοκίον.*

Σαρκός μου παῦσον, τὰς δυσφορήτους κινήσεις, καὶ ὁδοὺς ἀπαθείας μοι δεῖξον, κεχαριτωμένη, ἐλπὶς ἀπηλπισμένων.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἰσχὺν παράσχου πᾶσιν, εὐσεβέσι Πάτερ, κατὰ μεθόδων τοῦ πλάνου ἀλάστορος, καὶ ἐν εἰρήνῃ συντήρει ἡμᾶς Δομέτιε.

Ἁγίασον τοὺς πίστει, στέφοντάς σε ὕμνοις, καὶ ἀρωγὴν τὴν θερμὴν αἰτουμένους σου, ἡγιασμένε ἀζύγων φωστὴρ Δομέτιε.

Σταυρὸν ὁ τοῦ Κυρίου, αἴρων ἀγογγύστως, καὶ θεωθεὶς κατὰ μέθεξιν Ὅσιε, ζυγόν με βίου ἐπαίρειν καλῶς ἀξίωσον.

*Θεοτοκίον.*

Χαρίτων Σου τὰς δόσεις, πέμψον οὐρανόθεν, ἐπὶ τοὺς Σοὶ ἀκλινῶς καταφεύγοντας, ἐν δυσκολίαις τοῦ βίου Θεογεννήτρια.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις προοράσεως ὁ αὐλός· χαίροις θεία λύρα, ἀπαθείας καὶ προσευχῆς· χαίροις τῆς μονήρους, βιώσεως κινύρα, Δομέτιε Προδρόμου, μάνδρας ὡράϊσμα.

Δόμους εὐφροσύνης διηνεκῶς, δεῖξόν μοι παμμάκαρ, Ὄρους Ἄθωνος καλλονή, καὶ Μονῆς

Προδρόμου, προΐστορ θεηγόρε, Δομέτιε Ἀγγέλων, δήμων συνόμιλε.

Φύλαττε καὶ σκέπε τὴν σὴν Μονήν, ἧς καλῶς προέστης, καὶ χορείας τῶν μοναστῶν, ἴθυνον πρὸς δόμους, βιώσεως ἀγήρω, Δομέτιε Πατέρων, θεῖον ἐκτύπωμα.

Χαίροις ἐνθεώτατε ἀσκητά, τοῦ Διονυσίου, φίλε γνήσιε τοῦ σεπτοῦ, κτίτορος τῆς μάνδρας, ἐν Ἄθῳ τοῦ Προδρόμου, καὶ δοῦλε τοῦ Ὑψίστου, μακαριώτατε.

Πρὸς ἀγῶνας δίδου πνευματικούς, σοῦ τὴν εὐλογίαν, οὐρανόθεν τὴν πατρικήν, δήμοις ἀσκουμένων, σοὶ προστρεχόντων πίστει, καὶ τούτους ἐκ μανίας, ῥύου τοῦ ὄφεως.

Χαίροις πνευματέμφορε ἀσκητά, τοῦ Διονυσίου, τῶν ἀγώνων συγκοινωνέ, μοναστῶν τοῦ Ἄθω, σεπτὴ στηλογραφία, καὶ ἱερέων τύπος, θεῖος Δομέτιε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· *Κύριε ἐλέησον.* Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.

Πάντας, τοὺς τιμῶντάς σε πιστῶς, ἕλκυσον πρὸς δόμους ἀγήρω, ζωῆς Δομέτιε, Πάτερ πνευματέμφορε, ἀζύγων σέμνωμα, καὶ Μονῆς ἐγκαλλώπισμα, Προδρόμου ἐν Ἄθῳ, ἵνα σοῦ γεραίρωμεν, τὰ κατορθώματα, τῆς μοναδικῆς πολιτείας, καὶ τῶν ἀρετῶν σου τὸ πλῆθος, ὕμνοις μελιχροῖς καὶ μελῳδήμασι.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾽ εὐχῶν.*

